π d
280

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-688886-p0001-9

QK. 5

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-688886-p0002-5

QK. 533, 6.
B m. II d 280

# DE ELOQVENTIA MILITVM DISSERTATIO

VIRO AMPLISSIMO CLARISSIMO
ATQVE DOCTISSIMO
DOMINO
CHRISTIANO GOTTLOB
KAENDLERO
A. M.
SCHOLAE SANGERHVSANAE RECTORI
OPTIME MERITO
ACADEMIAE SCIENTIARVM MOGVNTINAE
ET SOCIETATIS LATINAE IENENSIS
MEMBRO HONORARIO
DIE ONOMASTICO
D. V. M. APR. ANNI MDCCLVIII
DECENTER OBLATA
A SOCIETATIS ORATORIAE SODALIBVS
QVORVN IMPRAESENTIARVM NOMINA SVNT
SEQVENTIA

*Gottlieb Meyer*, Walahusanus.
*Ioh. Henr. Scherner*, Sangerh. AVCTOR.
*Alb. Frid. Vernickel*, Gros Leinung.
*Ioh. Frid. Kübiz*, Hohlsted. Thur.
*Rud. Gottfr. Kieling*, Breitung. Thur.
*Ioh. Gabr. Kamprath*, Ludersdorf.
*Ioh. Ioach. Heyroth*, Bennungen.
*Gottlob Aug. Reisner*, Wiederstaedt.
*Wilh. Ferd. Müller*, Vstrungen.
*Fer. Christ. Rolle*, Gehofen.
*Frid. Wilh. Demelius*, Sang.
*Io. Frid. Christ. Ferber*, Gonna.
*Lud. Dorguth*, Geeburg.
*Ioh. Theoph. Walz*, Dresdens.
*Ioh. Gottfr. Meyer*, Sang.
*Ioh. Georg. Rudolph*, Riestad.
*Henr. Car. Theoph. Walz*, Dresd.
*Christ. Gottfr. Fritsche*, Ludersdorf.
*Car. Frid. Hüfler*, Gehofen Thur.

UNIVERSITÄTS-BIBLIOTHEK HALLE (SAALE)

---

LIPSIAE
EX OFFICINA BREITKOPFIA.

BIBLIOTHECA PONICKAVIANA

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-688886-p0003-1

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-688886-p0004-6

Ἔικοσίν ἐστιν ἔτη, ἐξ ὅτου, ΔΙΔΑΣΚΑΛΕ ΦΙΛΟΠΟΝΕ συνουσίαν ῥητορικὴν ἐν τῇ σχολῇ ἡμῶν κατέστησας, καὶ ἐν τῇ ἡμέρᾳ καὶ τῇ ὥρᾳ τεταγμένῃ οἱ λόγων ποιηταὶ διαπεπονημένως καὶ κεχαρισμένως φθέγγεσθαι ἐπιχειροῦσι περὶ ποικίλων, διὰ παντὸς ΣΟΥ τὰς μελέτας αὐτῶν διορθώσαντος. Ἑκατὸν καὶ τριάκοντα εἰσι τὸν ἀριθμὸν, οἳ ἀπὸ τῆς ἀρχῆς ἕως τοῦ νῦν γεγόνασι μέτοχοι τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων, ἐξ ὧν οἱ πλεῖστοι εἰς Ἀκαδημίας ἀπῆλθον, οὐκ ὀλίγοι δὲ κατὰ πόλεις καὶ κώμας ἐν τῇ ἐκκλησίᾳ πολιτείᾳ καὶ παρεμβολῇ τὰ καθήκοντα κατὰ τάξιν καὶ εὐσχημοσύνην ἐπιτελοῦντες τιμὰς ἐξαιρέτους λαμβάνουσι. Σὲ δὲ ἄγουσι διὰ εὐφήμου μνήμης.

Ὅτι δὲ ἐπὶ μισθῷ λέγειν καὶ γράφειν οὐκ εἰωθὼς εἶς, κατ' ἐνιαυτὸν Σοὶ εὐχαριστήσοντες προσηνέγκαμεν ἑορτάζοντι Βιβλίον, εὐωχίαν ἐπευχόμενοι· Πολλοὶ δὲ τῶν συμμαθητῶν, μου ἐπεχεί-



ρησαν

ρησαν ἀνατάξασθαι διήγησιν περὶ τῆς δεινότητος ἐν λόγοις ποικίλων ἀνδρῶν, ἀλλὰ περὶ τῆς τῶν στρατιωτῶν εὐφραδίας οὐδεὶς ἐτόλμησε μέχρι τοῦ σήμερον λογοποιεῖν. Διὰ τοῦτο ἔδοξεν ἐμοὶ τί τις ἂν ἔχοι εἰπεῖν περὶ αὐτῆς σκέπτεσθαι, ὅτι ἐν τῷ παρόντι τῶν ἀρχόντων οὐ περὶ δόξης καὶ ὑπὲρ μέρους χώρας, ἀλλὰ καὶ ἀναστάσεως καὶ ἀνδραποδισμοῦ τῆς πατρίδος πολεμούντων πολλάκις ἀηδῶς τῶν στρατιωτῶν ἀκούομεν λεγόντων.

Πρῶτον οἱ εὐφραδία οὐκ ἀναγκαία καὶ ὠφελίμος εἶναι φαίνεται τοῖς ὑπ' ἐξουσίαν τασσομένοις. ὡς γὰρ ὁ ἑκατόνταρχος ἔφη, τῷ Σωτῆρι ἡμῶν (a) ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας, λέγω τούτῳ πορεύθητι καὶ πορεύεται καὶ ἄλλῳ ἔρχου καὶ ἔρχεται καὶ τῷ δούλῳ μου ποίησον τοῦτο, καὶ ποιεῖ, οὐ χρείαν ἔχει, μεγάλοις σημείοις καὶ φανεροῖς ἐλέγχοις ἀποδεῖξαι, τί ποιητέον. Ἀλλὰ ταῦτα πάντα εὐτάκτως γίγνεσθαι μόνον ἡγοῦμαι, ἐὰν οἱ ὄχλοι παύονται τῶν πολέμων καὶ οἱ ἄρχοντες πρὸς ἀλλήλους εἰρήνην ἄγουσιν. Ἐὰν δὲ οἱ στρατιῶται εἰς μάχην εἰσέρχονται, εἰ κινδυνεύουσιν ἀπολέσθαι, εἰσέρχεται δέος τὸν νοῦν καὶ ἡ τοῦ βίου τελευτὴ φοβερά ἐστι. Πολλοὶ ἐξ αὐτῶν ἠναγκάσθησαν καταλείπειν τὸν πατέρα καὶ τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα ὧν οὐδὲ ὁ χρόνος τὴν μνήμην ἠφάνικε. Τότε ἀνάγκη διὰ μακροτέρων τοὺς λόγους ποιήσασθαι, καὶ τὰ μὲν ἀναμνῆσαι τῶν δὲ κατηγορῆσαι. Μάλιστα δὲ οἱ στρατηγοὶ ὀφείλουσι καταστῆσαι, ἑαυτοὺς παραδείγμα-

(a) Matth. VIII, 9.

τα τοῖς συςρατιώταις τῶν λεγομένων, ἐδένα ἴδιον κίνδυνον ὀκνέντες.

Διὰ τῦτο καὶ Θεὸς ἐνετείλατο ἐν τῷ νόμῳ λέγων (b) "ΕΣΤΑΙ (b) Deut. XX.
„ὅταν ἐγγίσης τῷ πολέμῳ καὶ προσεγγίσας ὁ ἱερεὺς λαλήσει τῷ
„λαῷ καὶ ἐρεῖ πρὸς αὐτὲς: "Ακυε Ἰσραὴλ ὑμεῖς πορεύεσθαι σή-
„μερον εἰς τὸν πόλεμον ἐπὶ τὲς ἐχθρὲς ὑμῶν, μὴ ἐκλυέσθω ἡ
„καρδία ἡμῶν μὴ φοβεῖσθε, μηδὲ θραύεσθε, μηδὲ ἐκκλίνετε ἀπὸ
„προσώπε αὐτῶν. "Οτι κύριος ὁ Θεὸς ὑμῶν προπορευόμενος, μεθ'
„ὑμῶν συνεκπολεμῆσαι ὑμῖν τὲς ἐχθρὲς ὑμῶν διασῶσαι ὑμᾶς."
Ἰωὰβ ἰδὼν, ὅτι οἱ ἐχθροὶ γεγόνασιν ἀντιπρόσωποι τῦ πολεμεῖν
πρὸς αὐτὸν κατὰ πρόσωπον καὶ ἐξόπισθε εἶπε πρὸς 'Αβεσαΐ·
„'Ανδρίζε καὶ ἐνισχύσωμεν περὶ τῦ λαῦ ἡμῶν καὶ περὶ τῶν πόλεων
„τῦ Θεῦ ἡμῶν, καὶ κύριος τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς αὐτῦ ποιή-
„σει. (c) 'Ελθόνταν τῶν ὑμῶν Μωὰβ εἰς πόλεμον πρὸς Ἰωσα- (c) 1 Chron. XX, 13.
„φὰτ 'Οζιὴλ τῦ Ζαχαρίε εἶπε τῇ ἐκκλησίᾳ: Μὴ φοβεῖσθε, μηδὲ
„πτοηθῆτε ἀπὸ προσώπε τῦ ὄχλε τῦ πολλῦ τέτε ὅτι ἐκ ὑμῖν
„ἐςιν ἡ παράταξις ἀλλ' ἢ τῷ Θεῷ (d) κ. τ. λ. "Οτε Σεννα- (d) 2 Chron. XX, 14.
χηρὶμ βασιλεὺς 'Ασσυρίων παρενέβαλεν ἐπὶ τὰς πόλεις τῶν 'Ιε-
δαίων τειχήρεις, ὁ βασιλεὺς 'Εζεκίας ἐλάλησεν ἐπὶ καρδίαν τῦ
λαῦ λέγων: „'Ισχύσατε καὶ ἀνδρίζεσθε καὶ μὴ φοβηθῆτε, μηδὲ
„πτοηθῆτε ἀπὸ προσώπε Βασιλέως. 'Ασσὺρ καὶ ἀπὸ προσώπε
„παντὸς τῦ ἔθνες τῦ μετ' αὐτῦ, ὅτι μεθ' ὑμῶν πλείονες ἢ μετ'

 „αὐτῦ.

„αὐτοῦ. Μετὰ αὐτοῦ βραχίονες σάρκινοι μεθ' ἡμῶν δὲ κύριος ὁ „Θεὸς ἡμῶν τοῦ σώζειν καὶ τοῦ πολεμεῖν τὸν πόλεμον ἡμῶν. Καὶ „κατεθάρσησεν ὁ λαὸς ἐπὶ τοῖς λόγοις. Ἐζεκίου. (e) Ἰούδας ὁ „καλούμενος Μακκαβαῖος τῶν Ἰουδαίων λεγόντων: Πῶς δυνησόμεθα „ὀλιγοστοὶ ὄντες πολεμῆσαι πρὸς πλῆθος τοσοῦτον ἰσχυρόν; ἀπεκρί-„θη: Εὔκοπόν ἐστι συγκλεισθῆναι πολλοὺς ἐν χερσὶν ὀλίγων. Ἡμεῖς „πολεμοῦμεν περὶ τῶν ψυχῶν ἡμῶν καὶ τῶν νομίμων ἡμῶν. Κρεῖσ-„τον ἡμᾶς ἀποθανεῖν ἐν τῷ πολέμῳ, ἢ ἐπιδεῖν ἐπὶ τὰ κακὰ τοῦ „ἔθνους ἡμῶν καὶ τῶν ἁγίων. Ὡς δ' ἂν ᾖ θέλημα ἐν οὐρανῷ οὕτω „ποιήσει (f).

(e) 2 Chron. XXXII, 7.

(f) 1 Macc. III, 18 seqq.

Ἀλλὰ οὐ μόνον οἱ Ἰουδαῖοι ἀλλὰ καὶ οἱ Βάρβαροι εἰς συνάντησιν τῶν πολέμων βαίνοντες πρὸς τὸν δῆμον λόγους παραινετικοὺς ἔλεξαν. Οἱ ἀλλόφυλοι γνόντες, ὅτι κιβωτὸς κυρίου ἥκει εἰς τὴν παρεμβολὴν τῶν Ἰουδαίων ἐφοβήθησαν καὶ ἔκραζαν: „οὐαὶ ἡμῖν, κραταιοῦσθε, „καὶ γίνεσθε εἰς ἄνδρας ἀλλόφυλοι, ὅπως μὴ δουλεύσητε τοῖς „Ἑβραίοις, καθὼς ἐδούλευσαν ἡμῖν καὶ ἔσεσθε εἰς ἄνδρας καὶ πο-„λεμήσατε αὐτούς. Καὶ ἐπολέμησαν αὐτούς. Καὶ ἐγένετο πληγὴ τῶν Ἰουδαίων μεγάλη σφόδρα (g).

(g) 1 Sam. IV, 6.

Τοὺς τῶν ἑλλήνων στρατηγοὺς πλείω ἀπομνημονεῦσαι ῥήμασι, σαφῶς οἴδαμεν. Ἐν τοῖς τοῦ Ξενοφῶντος ἔργοις πολλὰ εὑρίσκομεν παραδείγματα; Ἱερώνυμος πρεσβύτατος τῶν Προξένου λοχαγῶν ἤρχετο λέγειν ὧδε: „Ἐπίστασθε ὅτι οὔτε πλῆθός ἐστιν οὔτε ἰσχὺς

„ἢ ἐν τῷ πολέμῳ τὰς νίκας ποιȣ̃σαι· ἀλλ᾽ ὁπότεροι ἂν σὺν τοῖς, „θεοῖς ταῖς ψυχαῖς ἐῤῥωμενέϛεροι ἴωσιν ἐπὶ τȣ̀ς πολεμίȣς, τȣ́τȣς „ὡς ἐπὶ τὸ πολὺ οἱ ἐναντίοι ȣ̓ δέχονται, ἐντεθύμημαι δ᾽ ἔγωγε, „ὦ ἄνδρες καὶ τȣ̃το ὅτι ὁπόσοι μὲν πιϛεύȣσι ζῆν ἐκ παντὸς τρόπȣ „ἐν τοῖς πολεμικοῖς, ȣ̃τοι κακῶς τὲ καὶ αἰχρῶς ὡς ἐπὶ πολὺ ἀπο- „θνήσκȣσιν, ὁπόσοι τε τὸν, μὲν θάνατον ἔγνωσαν πᾶσι κοινὸν ἐ- „ναι καὶ ἀναγκαῖον ἀνθρώποις, περὶ δὲ τȣ̃ καλῶς ἀποθνήσκειν „ἀγωνίζονται, τȣ́τȣς ὁρῶ μᾶλλον πῶς εἰς τὸ γῆρας ἀφικνȣμένȣς, „καὶ ἕως ἂν ζῶσιν, εὐδαιμονέϛερον διάγοντας (h).

(h) De Exped. L. III. p. 299.

Ἀλλὰ καὶ ἐν τοῖς Ὁμήρȣ ποιήμασι τȣ̃το κατανοεῖν ἐϛὶν Ἀμφοτέρῳ Αἴαντε:

Ἄλλον μειλιχίοις ἄλλον ϛερεοῖς ἐπέεσσι
Νείκεον, ὅν τινὰ πάγχυ μάχης μεθίεντα ἴδοιεν
Ὦ φίλοι Ἀργείων, ὅς τ᾽ ἔξοχος, ὅς τε μεσήεις
Ὅς τε χερειότερος ἐπεὶ ȣ̓́πω πάντες ὁμοῖοι
Ἀνέρες ἐν πολέμῳ νῦν ἔπλετο ἔργον ἅπασι.
Καὶ δ᾽ αὐτοὶ τὸ δὲ πȣ̃ γινώσκετε, μή τις ὀπίσσω.
Τε τράφθω (i).

(i) Iliad. M. v. 267.

Ἕκτωρ τε εἶπε (k):

(k) Iliad. O. v. 494.

Ἀλλὰ μάχεθ᾽ ἐπὶ νηυσὶν ἀολλέες, ὅς δὲ κὲν ὑμέων
Βλήμωνος ἠὲ τυπεὶς Θάνατον καὶ πότμον ἐπίσπη
Τεθνάτω ȣ̓ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης
Τεθνάμεν, ἀλλ᾽ ἄλοχος τε σοὴ καὶ παῖδες ὀπίσσω.

QK Π d 280



Τὸ λοιπὸν προχειρότατόν ἐστι τοὺς τῶν Ῥωμαίων ἡρώων λόγους πολεμικοὺς προβάλλεσθαι· Ἀλλὰ ὅτι κατὰ πᾶσαν ἡμέραν ταῦτα τοῦ Σαλλουστίου Λιυίου Καίσαρος, Κουρτίου ἀναγινώσκομεν εὑρισκόμενα, οὐκ ἔχω ἀναγκαίως τοῦτο ποιεῖν.

Τιμὰς ἐξαιρέτους ἔλαβον οἱ τῶν στρατιωτῶν λόγοι ἀλλὰ Σὺ ἌΝΕΡ ἈΙΔΈΣΙΜΕ μᾶλλον ἀγαπᾷς τοὺς πόδας εὐαγγελιζο-
(l) Es. LII, 7. μένου ἀκοὴν εἰρήνης (l) καὶ φωνὴν στρατιᾶς οὐρανίου αἰνούντων τὸν Θεὸν καὶ λεγόντων· ἘΠΙ ΓΗ͂Σ ἘΙΡΉΝΗ. Ὁ Θεὸς οὖν τῆς εἰρήνης δῴη ἡμῖν τὴν εἰρήνην διὰ παντὸς ἐν παντὶ τρόπῳ ἢ τις μάλιστά ἐστιν ὠφέλιμος τοῖς γυμνασίοις. Μετὰ ταῦτα δὲ Θεὸς ΣΕ ὑγιεινότατον καὶ μακροβιώτατον εἶναι κελεύῃ, ἵνα πολλοὶ ἔτι ἐν τῇ Ῥωμαίων καὶ Ἑλλήνων φωνῇ εὐπρόσφοροι ἐκ τῆς παιδείας ΣΟΥ͂ ἐξελθόντες βλέπωσι τὴν χώραν ἡμῶν ηὐξημένην καὶ τὴν πόλιν εὐδαίμονα γεγενημένην πολλὴν τῷ Θεῷ χάριν ἔχοντες, ὅτι μὴ διήμαρτες τῆς δόξης, ἣν ἔχων περὶ αὐτῶν ἐτύγχανες.

Pon IId 280, Qu

ULB Halle 3
005 006 082

VD 17

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-688886-p0011-5

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-688886-p0012-0

B m. I
II d
280

DE

# ENTIA MILITVM

SERTATIO

SSIMO CLARISSIMO

E DOCTISSIMO

DOMINO

# IANO GOTTLOB

# ENDLERO

A. M.

ANGERHVSANAE RECTORI

TIME MERITO

CIENTIARVM MOGVNTINAE

ATIS LATINAE IENENSIS

BRO HONORARIO

ONOMASTICO

APR. ANNI MDCCLVIII

RECENTER OBLATA

IS ORATORIAE SODALIBVS

AESENTIARVM NOMINA SVNT

SEQVENTIA

| | |
|---|---|
| | *Fer. Christ. Rolle*, Gehofen. |
| AVCTOR. | *Frid. Wilh. Demelius*, Sang. |
| inung. | *Io. Frid. Christ. Ferber*, Gonna. |
| Thur. | *Lud. Dorguth*, Geeburg. |
| g. Thur. | *Ioh. Theoph. Walz*, Dresdens. |
| lorf. | *Ioh. Gottfr. Meyer*, Sang. |
| en. | *Ioh. Georg. Rudolph*, Riestad. |
| staedt. | *Henr. Car. Theoph. Walz*, Dresd. |
| n. | *Christ. Gottfr. Fritsche*, Ludersdorf. |

*Frid. Hüfler*, Gehofen Thur.

---

LIPSIAE

ICINA BREITKOPFIA.

UNIVERSITÄTS-BIBLIOTHEK HALLE (SAALE)
BIBLIOTHECA PONICKAVIANA

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-688886-p0013-6